eul_wid: cjy-aa

Διογένης ὁ Ἀθηναῖος · Diogenes of Athens

# Fragments on Foreign Rites

*Ἀποσπάσματα περὶ Ξένων Ἱερῶν*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (dr, frg)
**Domain:** *Δρᾶμα* Drama
**Format:** *Ἔμμετρος* Verse

book 1.1 καίτοι κλύω μὲν Ἀσιάδος μιτρηφόρους Κυβέλης γυναῖκας, παῖδας ὀλβίων
book 1.2 Φρυγῶν, τυπάνοισι καὶ ῥόμβοισι καὶ χαλκοκτύπων βόμβοις βρεμούσας ἀντίχερσι κυμβάλων σοφὴν θεῶν ὑμνῳδὸν ἰατρόν θ’ ἅμα. κλύω δὲ Λυδὰς Βακτρίας
book 1.3 τε παρθένους
book 1.4 ποταμῷ παροίκους Ἅλυϊ Τμωλίαν θεόν δαφνόσκιον κατ’ ἄλσος Ἄρτεμιν σέβειν
book 1.5 ψαλμοῖς
book 1.6 τριγώνων
book 1.7 πηκτίδων ἀντιζύγοις ὁλκοῖς κρεκούσας μάγαδιν, ἔνθα
book 1.8 Περσικῷ νόμῳ ξενωθεὶς αὐλὸς ὁμονοεῖ χοροῖς